v. 70. ἀπύρων ἱερῶν] τῶν θυσιῶν τῶν Μοιρῶν καὶ τῶν Ἐριννύων, ἃ καὶ νηφάλια καλεῖται.

v. 78. οὐκ ἔνι χώρᾳ] τῷ τόπῳ ἐκείνῳ.

v. 82. ἀλαίνει] ἀλᾶται.

v. 85. τί χρέος] διατί.

v. 86. θυοςκικεῖς· gl. θύματα κινεῖς, πέμπεις. sch. εὕρηται καὶ θυοςκοεῖς· ὡς ἀπὸ τοῦ θυοςκόος ὁ διὰ θυσιῶν τὸ μέλλον κοῶν ἤτοι νοῶν· θύος γὰρ τὸ θῦμα. Farn.

v. 94. χρίσματος ἁγνοῦ] τοῦ ἐλαίου.

v. 96. μυχόθεν] λείπει κομιζομένων*).

v. 98. εἰπεῖν· πρὸς ἡμᾶς.

v. 99. ἤ νυν· δή· τοτὲ· ποτέ. — Ἡ φροντίς, φησί, ποτὲ μὲν κακὰ διαλογίζεται περὶ τῶν ἀποδημούντων δηλονότι φίλων. ποτὲ δὲ θυσίας ποιοῦσα λαμβάνει χρηστὴν ἐλπίδα. ἥτις ἐλπὶς θεραπεύει τὴν τοιαύτην φροντίδα τὴν βιβρώσκουσαν τὴν ψυχὴν καὶ λιποῦσαν τὰς φρένας καὶ τὸν λογισμόν. τῆξις γάρ φησι (?) καρδίας ἔμμονος λογισμός. λυπόφρενα δὲ γράφε. οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. δέον δὲ εἰπεῖν καὶ λυπόφρενα, ἀσυνδέτως ἐπέφερεν. Farn.

v. 100. τότε μὲν] εὖθ' ὅτε μέν.

v. 103. τὴν θυμοβόρον] ἥτις ἐστὶ θυμοβόρος λύπη τῆς φρενός.

v. 104. κύριός εἰμι θροεῖν] A. δυνατός εἰμι εἰπεῖν τὸ συμβὰν αὐτοῖς σημεῖον ἐξιοῦσιν. ὅδιον] τὸ ἐν τῇ ὁδῷ ὀφθέν.

κύριός εἰμι] B. ἐντεῦθεν αἱ κατὰ σχέσιν ἄρχονται στροφαὶ καί εἰσι τῆς πρώτης ταυτησὶ στροφῆς κῶλα ιθ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. Εἰσὶ δὲ τὰ πλείω μὲν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤγουν ἐφθημιμερῆ, καὶ μονόμετρα καὶ πενθημιμερῆ. Τινὰ δὲ καὶ δακτυλικὰ ἰαμβικά. ἃ καὶ μετρήσεις ἑπόμενος οἷς πρότερον εἰρήκαμεν. Τὸ μέντοι τελευταῖον κῶλον τῆς τε στροφῆς καὶ ἀντιστροφῆς καὶ τῆς ἐπῳδοῦ καλεῖται ἐφύμνιον, καὶ ἐστὶ δακτυλικὸν πεντάμετρον. Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀνιστροφῆς παράγραφος. Ἔστι δὲ τριὰς ἐπῳδική.

---

*) Sch. κομιζομένῳ, ut Pauw.